Lexicon: Letter Upsilon by Pseudo-Zonaras

υ.1759 *Υ. Τὸ Υ μετὰ τοῦ Α. — Ἀρσενικόν. —*

Υ. τὸ στοιχεῖον. ὅτι αἱ ὑάδες τὸ πρόσωπον τοῦ ταύρου ἔχουσιν, ὡς ἐπιπλατυνόμενον ἀπὸ τοῦ μετώπου, λεπτυνόμενον δὲ ἐξ ἀμφοτέρων ἐπὶ τὰ κάτω. ὥσπερ καὶ τὸ γράμμα. ῾Υαλής. εἰκαῖος· βλοσυρός. ῞Υαλος. ὁ βόρβορος. ἐνίοτε δὲ καὶ τὸ λαμπρόν. ῞Υαντες. ἔθνος κατοικήσαντες τὴν Βοιωτίαν. ῞Υαντες. ἔθνος κατοικίσαντες τὴν Βοιωτίαν. ῾Υαῖος. κύριον, δίφθογγον. υἱέως δὲ, τοῦ υἱοῦ, ψιλὸν καὶ μέγα.

— Θηλυκόν. —

῾Υάδες. ἀστέρες, οἵτινες ἐπὶ τῶν κεράτων τοῦ οὐρανίου ταύρου εἰσί. παρὰ τὸ ὕω, τὸ βρέχω. ὑετοῦ γὰρ παρασκευαστικαὶ εἰσὶ δύνουσαι. ῞Υαινα. ζῶον. ῾Υάμπολις. πόλις. ῞Υαξις. πόλις.

— Οὐδέτερον. —

῾Υακίνθινον. ὑπομελανίζον. ῞Ομηρος·
λωτόν θ’ ἑρσήεντα ἠδὲ κρόκον ἠδ’ ὑάκινθον.
῾Υάλινον, οὐχὶ ὑάλουν. καὶ τὴν ὕαλον θηλυκῶς ἐν τῷ ἄλφα λεκτέον,
υ.1760 οὐχὶ ἐν τῷ ε. παρὰ τὸ ὕειν καὶ καθ’ ὁμοιότητα εἶναι τῆς γινομένης συστάσεως καὶ πήξεως τοῦ ὕδατος. ῾Υαλόεν. τὸ διαφανές. Υ. τὸ στοιχεῖον. ὅτι παρεοικός ἐστι τῷ τῶν ὑδάτων προσώπῳ.

Τὸ Υ μετὰ τοῦ Β. — Ἀρσενικόν. —

῾Υβός. ὁ κυρτός. κυφός ἐστι, καὶ ἀποβολῇ τοῦ κ, καὶ τροπῇ τοῦ φ εἰς β, ὑβός. καὶ ὕβωσις, ἡ κύρτωσις, ἢ τὸ μετὰ τὴν κεφαλὴν πρὸ τῆς ῥάχεως πάθος. ῾Υβριστάς. τοὺς θρασεῖς καὶ λοιδόρους λέγει ὁ Ἀπόστολος· ὑβριστὰς ὑπερηφάνους.

— Θηλυκόν. —

῾Υβάλη. δῆμος Ἀττικῆς. ῞Υβλη. πόλις Σικελική. ῞Υβρις. ἀδικία καταισχύνουσα. ὑπόβαρις τὶς οὖσα, ἡ βαροῦσα πάντας. ῞Υβρισις. ἀτιμία. ῾Υβριστεία. ἡ ὑβριοπάθεια.

— Ῥῆμα. —

῾Υβάλλειν. ἐμποδίζειν. ῾Υβριοπαθῶ. ῾Υβακίζειν. διαχωρίζειν ἀπ’

υ.1761 ἀλλήλων.

Τὸ Υ μετὰ τοῦ Γ. — Ἀρσενικόν. —

῾Υγιής. ὁλόκληρος. ὁ ἐν ὑγρῷ ὢν καὶ ζῶν, οἱονεὶ ὑγριὴς, καὶ ἀποβολῇ τοῦ ρ ὑγιής. ὅθεν διερὸς ὁ ζῶν, καὶ ἀλίβας ὁ νεκρός. οἶμαι δὲ παρὰ τὸ εὖ εἶναι σῶμα, ἢ παρὰ τὸ εὖ ἰαίνεσθαι. ῾Υγρός. εὐκατάφορος· ὁ εἰς τὰς ἡδονὰς ῥευματιζόμενος.

— Θηλυκόν. —

῾Υγίεια. συμμετρία τῶν ἐν σώματι στοιχείων, θερμοῦ καὶ ψυχροῦ, ὑγροῦ καὶ ξηροῦ. ἢ ἡ ἀρίστη τοῦ σώματος διάθεσις. ὡς παρὰ τὸ εὐσεβὴς εὐσέβεια, οὕτω καὶ παρὰ τὸ ὑγιὴς ὑγίεια. καὶ παροξυνόμενον γράφεται διὰ διφθόγγου τῷ λόγῳ τῶν διὰ τοῦ ει θηλυκῶν. οἱ δὲ Ἀθηναῖοι ἐκτείνουσι τὸ α, καὶ καταβιβάζουσι τὸν τόνον, καὶ φυλάττουσι τὴν αὐτὴν γραφήν. ὡς ἱέρεια, ἱερεία. τοῦτο δὲ κατὰ κρᾶσιν τοῦ ι καὶ τῆς ει διφθόγγου γίνεται ὑγεία.

— Οὐδέτερον. —

῾Υγρὰ κέλευθα. διὰ θαλάσσης ὁδός. ῾Υγρόν. ὕδωρ τι ὢν, οἷον τὸ ἔνυδρον. ἢ παρὰ τὸ ὕω, τὸ βρέχω, ὗσω, ὑρὸς, καὶ πλεονασμῷ τοῦ γ ὑγρὸς καὶ
υ.1762 ὑγρόν.

Τὸ Υ μετὰ τοῦ Δ. — Ἀρσενικόν. —

῾Υδάσπης, καὶ ῞Υδασπις, καὶ ῾Υδάρνις. ποταμοί. ῾Υδαρεύς. τοπικόν. ῞Υδερος. νόσος. ῞Υδης. συνετός. ῾Υδίμαχος. κύριον. ῾Υδός. ὁ ἀνεψιός. ῾Υδρηλός. τόπος. ῾Υδροπότης. ὁ πίνων ὕδωρ. ῞Υδρωψ. νόσος. ἀφ᾽ οὗ καὶ ὑδρωπικός.

— Θηλυκόν. —

῞Υδη. φήμη. ᾠδή. ῞Υδρα. θηρίον, ἐννέα κεφαλὰς ἔχουσα, ἣν ἐφόνευσεν Ἡρακλῆς. ῞Υδρη. πόλις. ῾Υδρεία. ἡ ὕδρευσις. ὑδρία δὲ, τὸ ἀγγεῖον, ι. κυρίως δὲ ὑδρία τὸ εἰς ὕδωρ εὔθετον ἀγγεῖον. ῾Υδριάδες. νύμφαι. ῾Υδρογοργόνη. ῾Υδρορρόη. ῾Υδατίδες. σταγόνες. τοῦ Ψελλοῦ· αἱ συνθῆκαι φύδερα, σταγόνες δ᾽ ὑδατίδες.

— Οὐδέτερον. —

υ.1763 ῾Υδαρές. ἁπαλὸν, ὑδατῶδες. ῞Υδας. τὸ ὕδωρ. ῞Υδει. τῷ ὕδατι. ῞Υδνον. .... ῾Υδρίον. τὸ ἀγγεῖον. ὑδρεῖον δὲ, ἐν ᾧ ὑδρεύονται, δίφθογγον. ῞Υδωρ. ἓν

τῶν τεσσάρων στοιχείων ἐστὶ, ποίημα θεοῦ κάλλιστον. ἔστι δὲ ὑγρόν τε καὶ ψυχρὸν, βαρύ τε καὶ κατωφερὲς καὶ εὐδιάχυτον. τοῦτο δὲ μνημονεύει ἡ θεία γραφὴ, λέγουσα· καὶ σκότος ἦν ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. ἄβυσσος γὰρ οὐδὲν ἕτερον ἢ ὕδωρ πολὺ, οὗ τὸ τέλος ἀκατάληπτον ἀνθρώποις. ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ ὕω, τὸ βρέχω, ὕωρ καὶ πλεονασμῷ τοῦ δ ὕδωρ.

— Ῥῆμα. —

Ὕδειν. ὑμνεῖν. τρέχειν. λέγειν.

Τὸ Υ μετὰ τοῦ Ε. — Ἀρσενικόν. —

Ὑετός ἐστι ψεκάδων ἄθροισμα. Ὑετός. ὄμβρος. καὶ ὑέτιον ὕδωρ. καὶ
υ.1764 ὑετίζω. καὶ ὗεν ἀντὶ τοῦ ἔβρεχεν.

— Οὐδέτερον. —

Ὕεια. χοίρων κρέα. τὰ ὕεια κρέα καὶ τοὺς λέβητας.

Τὸ Υ μετὰ τοῦ Η. — Ἀρσενικόν. —

Ὑηνεύς. ὁ σκαιὸς, ὁ φλύαρος, ὁ ἀμαθής. καὶ ὑηνία. οὕτω Καλλίας.
Ὑηνία. ἡ συγγένεια. καὶ ἡ σκαιότης.

Τὸ Υ μετὰ τοῦ Θ. — Ἀρσενικόν. —

Ὕθλος. ἡ φλυαρία. ἡ μωρία. ὑθλῶ, φλυαρῶ.

Τὸ Υ μετὰ τοῦ Ι. — Ἀρσενικόν. —

Ὑϊδοῦς. ὁ ἀνεψιός. ἢ τοῦ υἱοῦ υἱός. Υἱός. υἱὸς κυρίως ἐστὶ δευτερότης ὑποστάσεως ἐν ταυτότητι φύσεως· ἢ αὔξησις προσώπων ὁμογενής· ἢ πρόοδος φύσεως εἰς συγγένειαν γνωριζομένη. υἱὸς δὲ κυρίως εἴρηται, ὡς ἂν εἴποις οἷος· οἷος γὰρ ὁ πατὴρ τὴν οὐσίαν, τοιοῦτος καὶ ὁ μονογενὴς
υ.1765 υἱός· εἴτε ἐξ ἀκτίστου ἄκτιστος, εἴτε ἐκ θνητοῦ θνητός. κατὰ δύο δὲ τρόπους εἴρηται πάλιν ἐπὶ θεοῦ ἡ υἱότης, φύσει καὶ χάριτι. φύσει υἱὸς ὁ θεὸς λόγος, κατὰ πάντα ὁμοούσιος ὢν τῷ πατρί· χάριτι δὲ καὶ οἱ δίκαιοι.
Ὑός. ἄνευ τοῦ ι οἱ Ἀττικοί. λέγω δὲ, ὁπότε ἐν μιᾷ συλλαβῇ φωνήεντι ὑποτέτακται, ἐξαιρεῖ ὅλως, οἷον μύα, ὑὸς, εἰρηκῦα, πεποιηκῦα, κλαίειν καὶ τὰ ὅμοια. ὁπηνίκα δ’ ἐν συλλαβῶν διαζεύξει φωνήεντι ἕπεται, γράφεται μὲν, οὐ συνεκφωνεῖται δέ. κάδμη δ’ ἀνὴρ ἦ δακῶ παῖδα.
Υἱωνός. ὁ τοῦ υἱοῦ υἱὸς, ἢ ὁ ἀνεψιός. καὶ υἱωνή.

— Ῥῆμα. —

Ὑίώσας. υἱοποιήσας.

Τὸ Υ μετὰ τοῦ Λ. — Ἀρσενικόν. —

Ὑλακομόρων. κακοπαθούντων τῇ ὑλακῇ. ἢ ὑλακτικῶν. μόρος γὰρ ἡ κακοπάθεια. Ὑλλάγρις· Ὕλλας· Ὕλλαγνις, Ὑλλάγνιδος. ὀνόματα κύρια. Ὑλαῖος. κύριον. καὶ τόπος. Ὕλλος. ποταμὸς Λυδίας. Ὑλοτόμος. ὁ τὴν ὕλην καὶ ὄρος κόπτων. Ὑλωρός. ὁ τῆς ὕλης φύλαξ.

— Θηλυκόν. —

Ὑλακή. ἡ τῶν κυνῶν κραυγή. Ὕλη. πρᾶγμα ὑποκείμενον, ἐξ οὗ τι
υ.1766 ἀποτελεῖται, καὶ εἰς ὃ ἀναλύεται. ἢ ὕλη τὸ ὄρος καὶ τὸ δάσος. παρὰ τὸ ὕεσθαι. τουτέστιν ἡ δι' ὑγροῦ αὐξανομένη. Ὑλικὴ δυάς. πᾶν τὸ ὁρώμενον, ἐξ ὕλης καὶ εἴδους ἔχον τὴν σύστασιν, ὡς ἐγὼ, ἐξ ὕλης μὲν τῆς σαρκὸς, εἴδους δὲ τῆς ἀνθρωπείας μορφῆς. καὶ τόδε τὸ πρᾶγμα ἐξ ὕλης τοῦ ξύλου, εἴδους δὲ θύρας ἢ σκαμνίου ἢ τινὸς ἄλλου. ὑλικὴν δὲ δυάδα ὁ θεολόγος ἐκάλεσε τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν, βουλόμενος τῷ λογικῷ ὑποτάττειν αὐτά. Ὑλοκοῖτις. ἡ ἐν ὕλῃ κοιμωμένη.

— Οὐδέτερον. —

Ὑλῆεν ὄρος καὶ ὑλόεις τόπος, ὁ ἐν ὕλῃ.

— Ῥῆμα. —

Ὑλάζεσθαι. αὐλίζεσθαι. Ὑλιᾶσθαι. κινεῖσθαι.

Τὸ Υ μετὰ τοῦ Μ. — Ἀρσενικόν. —

Ὑμεδαπῶν. ἐγχωρίων. Ὑμήν. τὸ δέρμα. καὶ κλίνεται ὑμένος. ὑφὴν τὶς ἐστὶν ἀπὸ τοῦ ὑφασμοῦ. εἶναι ὑμένα λεπτότατον. Ὑμηττός. ὄρος τῆς Ἀττικῆς ὑψηλόν. ὄρος κείμενον ἐν μέσῳ δύο βουνῶν ὁμοίων. καὶ πρὸς αὐτὰ φάναι· ὑμᾶς ἡττῶ. ὅθεν καὶ τὸ ἐξ αὐτοῦ γινόμενον μέλι Ὑμήττιον
υ.1767 λέγεται, εὔχρηστον πάνυ πρὸς ἰατρείαν καθεστηκός. Ὕμνος. δοξολογία μετ' ἐκπλήξεως ἐπὶ τῇ θεωρίᾳ τῶν γινομένων παρὰ θεοῦ. ἢ ὕμνος ἐστὶν αἶνος ἐμμελὴς, ὡς οἶμαι. Ὑμέναιος ᾠδή. ᾆσμα γαμητικόν.

— Θηλυκόν. —

Ὑμήν. ὑμετέραν.

— Οὐδέτερον. —

Ὑμενῶδες. λεπτότατον καὶ οἷον εἰπεῖν ἀερῶδες. Ὑμνητόν. δοξολογικόν. καὶ ὕμνος, οἷον εἰπεῖν ὑπόμενός τις ὢν, καθὸ εἰς ὑπόμνησιν ἄγει τὰς τῶν

ἐπαινουμένων πράξεις· οὐχ ὡς κἀκείνων μὴ ὄντων ὕμνων, ἀλλ᾽ ὅτι τὰ ἄλλα προσῴδια προσιόντες ναοῖς ἢ βωμοῖς πρὸς αὐλὸν ᾖδον, τὸν δὲ ὕμνον πρὸς κιθάραν. οὕτως Δίδυμος.

Τὸ Υ μετὰ τοῦ Ν. — Ἀρσενικόν. —

Ὕνις, ὕννεως, καὶ ὑννίον. τὸ γεωργικὸν ἐργαλεῖον. ἀπὸ τοῦ δύνειν εἰς τὴν γῆν, ἀποβολῇ τοῦ δ.

Τὸ Υ μετὰ τοῦ Π. — Ἀρσενικόν. —

Ὑπασπιστής. δορυφόρος. Ὑπαγωγεύς. ἐργαλεῖον οἰκοδομικὸν, πτυάριον ἢ ἄλλό τι. Ὕπατος. ὑπερέχων, ὑψηλὸς ἢ βασιλεύς. παρὰ τὴν ὑπὸ πρόθεσιν τὴν δηλοῦσαν τὸ ὑπεράνω. ὑπότατος, ἐν συγκοπῇ ὕπατος. Ὕπαιθρος. ὑπὸ τὸν αἰθέρα ἢ τὸν ἀέρα διάγων, ἄστεγος, ἐναέριος.

υ.1768 Ὑπερβερεταίου. τοῦ ὀκτωβρίου μηνός. Ὑπερφυής. ἔνδοξος, ἔντιμος. Ὑπέρακμος. ὁ ὑπερακμάσας. Ὑπερήμερος. ἐκπρόθεσμος. Ὑπερόριος. ὁ ἐκ τῶν ὁρίων ἐξόριστος. Ὑπερασπιστής. ὁ ὑπέρμαχος. Ὑπέρτατος. ὁ ὑπερέχων. Ὑπερίονος. τοῦ ἡλίου. ὑπερίων ὁ ὑπεράνω ἡμῶν ἰὼν καὶ τὸν κόσμον περιπολῶν. Ὑπέροπλος. ὑπερήφανος. ἀπὸ τῶν τὰ ὅπλα φορούντων. Ὑπερῆλιξ. ὑπερμεγέθης ἢ εὐμεγέθης. καὶ κατὰ τὸν χρόνον τῆς ἡλικίας τραχύτερος. Ὑπερφίαλος. ὁ ὑπερήφανος. παρὰ τὸ φῶ, οὗ παράγωγον φαίνω. ὁ ὑπερφαίνειν τῶν ἄλλων ἐπιχειρῶν, ἑαυτὸν δεῖξαι. ἐὰν δὲ παρὰ τὸ φῶ, τὸ λέγω, ὁ ὑπὲρ τὴν ἑαυτοῦ δύναμιν λέγων καὶ ἐπαγγελλόμενος. ἢ ὁ παραβαίνων τοὺς ὅρκους διὰ τῶν φιαλῶν γινομένους. Ὑπέροφρυς. ὁ ἀλαζών· ὁ ἐπῃρμένος. Ὕπερος. τὸ ἰγδοκόπανον. καὶ ὕπερον. Ὑπερδεής. ἐνδεὴς ὑπερβαλλόντως. Ὑπεύθυνος. ἔνοχος. Ὑπείροχον. ὑπερέχοντα. προέχοντα. Ὑπηνέμιον. ὑπὸ τὸν ἄνεμον. Ὑπηνήτῃ. ἀκμαίῳ. ἄρτι γενειῶντι. ἀπὸ τῆς ὑπήνης. Ὕπνος. ἀργία αἰσθήσεων γενομένη ὑπὸ τῆς ἀνενεχθείσης ἀναθυμιάσεως ἐν τοῖς κοίλοις τοῦ ἐγκεφάλου ἐπὶ ἀναπαύσει τοῦ ζώου. Ὕπνος. θανάτου σκιά· καθημερινὴ μελέτη. ἢ ὕπνος ἐστὶν ἀτονία τοῦ αἰσθητικοῦ πνεύματος.

υ.1769 Ὕπνος ἐστὶ λογικῆς ψυχῆς χωρισμὸς ἑκούσιος ἀπὸ τῆς ὄντως ζωῆς. ὕπνος οὐδὲν ἕτερον ἢ θάνατος πρόσκαιρος καὶ ἐφήμερος τελευτή. Ὕπνος. παρὰ τὸ ὑπονοστεῖν· ἐν αὐτῷ γὰρ αἱ αἰσθήσεις τοῦ ἀνθρώπου ὑποχωροῦσιν. Ὕποινος. μέθυσος. Ὑποβολιμαῖοι. οἱ ὑποβάλλοντες, οἱ ἐκποιηταί. ἢ οἱ ὑποβαλλόμενοι καὶ οἱ εἰσποιητοὶ, ἤτοι ὡς ἐπὶ τῶν

χαμαιριφῶν παιδίων, ἅπερ ἑαυτῶν ἀποβάλλουσιν αἱ γυναῖκες. ῾Υπόφορος. ὑποτελής. ὑπεύθυνος. ῞Υπουλος. δόλιος. ὁ φαινόμενος εἰρηνικός. ἐκ μεταφορᾶς τοῦ ἕλκους τοῦ ἐπιπολαίως ὑγιαίνοντος, ἔσωθεν δὲ ὄντος σεσημμένου. ῾Υπόσπονδος. ὑπὸ φιλίαν ὑποτεταγμένος. ῾Υπόνομος. ὀχετὸς, διώρυξ, κάναλος, ἀγωγός. ῾Υπογραμμός. τύπος· μίμημα. ῾Υποκριτής. δόλιος. ῞Υποπτος. ὁ ἐν ὑπονοίᾳ ἐχθρός. ῾Υπόδικος. ὁ ὑπεύθυνος. ῾Υποδύτης. τὸ ἐσώτερον ἱμάτιον. ῾Υπόπλεως. μεστὸς,
υ.1770 πεπληρωμένος. ῾Υπόπτερον. ταχὺν, ὡς δι᾽ ἀέρος πετόμενον. ῾Υποχυτῆρες. τρυβλία, δι᾽ ὧν τὸ ἔλαιον ἐπιχέεται. ῾Υπότροπος. ἐξ ὑποστροφῆς ἐπανεληλυθώς. ῾Υποφῆται. διδάσκαλοι, ἱερεῖς, ὑπουργοὶ, διάκονοι, ἢ οἱ τὸ μέλλον φανερῶς ἐπιδεικνύοντες. ῞Υπτιος. ἀναπεπτωκώς· ἐξηπλωμένος· ἢ ἐπὶ νῶτα κείμενος. παρὰ τὸ ὄπτω, τὸ βλέπω, ὄπτιος καὶ ὕπτιος, μεταβολῇ τοῦ ο εἰς υ. τὰ γὰρ ὕπτια εὐθεώρητα. ῾Υπερηφάνους. τοὺς κατὰ τῶν οὐκ ἐχόντων ἐφ᾽ οἷς ἔχουσι φυσωμένους λέγει ὁ Ἀπόστολος.

— Θηλυκόν. —

῾Υπάτη. ἡ χορδή. ῾Υπαγωγή. ἡ ἀπάτη. ὑπαγωγὴ καὶ ἡ ὑποχώρησις. καὶ ταῖς ναυσὶ σκέπη καὶ προσόρμισις. οἷον ὕφορμός τις. ῾Υπεροψία. ἡ ὑπερηφανία. ῾Υπερηφανία. οἴδημα ψυχῆς ἰσχυρῶς πεπληρωμένον. ἢ καταφρόνησις κλήσεως ἀγαθῶν, ἢ προσποίησις, ἢ πάθος καρδίας. ἢ ψεκτὸν ὕψωμα, ἢ ὀφθαλμῶν μετεωρισμός. ῾Υπεροχή. ἐξοχή. ῾Υπέρθεσις.
υ.1771 ἀναβολή. ῾Υπερμέτρησιν. εἴτουν κατάληψιν. ῾Υπεροπλίαις. ὑπερηφανίαις. ῾Υπὲρ φύσιν. οἷον ὁ τοῦ Χριστοῦ τόκος. κατὰ φύσιν ὁ γάμος, παρὰ φύσιν ἡ πορνεία. ῾Υπέρα. τὸ ἐξηρτημένον τοῦ ἱστοῦ σχοινίον, ὃ ἀνίεται καὶ ἐκτείνεται. παρὰ τὸ ὑπεράνω εἶναι. ῾Υπερβασία. κυρίως ἐπὶ τῶν ὑπερβαινόντων τοὺς ἰδίους ὅρους. τοῦτο καὶ ἐπὶ τῆς ὑπερηφανίας· δοκοῦσι γὰρ οἱ ὑπερήφανοι ποιεῖν τὸ ὑπὲρ αὐτούς.

—ὑπερβασίης ἀλεγεινῆς.

῾Υπερῴα. ὁ οὐρανίσκος. παρὰ τὸ ὑπ᾽ αὐτὴν ὁρμᾶσθαι τὴν τροφήν· ἐρωὴ γὰρ ἡ ὁρμή. ἢ μετενήνεκται ἀπὸ τῶν ὑπερώων οἰκοδομημάτων, τῶν μετεωρισμένων ὑπὲρ τὴν ἔραν, ὅ ἐστι τὴν γῆν. ῾Υπήνη. αἱ ὑποκάτω τοῦ γενείου τρίχες. ἀπὸ τοῦ ὑπεῖναι καὶ ὑποκεῖσθαι τῷ γενείῳ. οἱ δὲ παρὰ τὸ ἵημι, οὗ ὁ μέλλων ἥσω, ἥνη καὶ ὑπήνη. παρὰ τὴν ἔσιν τῶν τριχῶν. ἐν δὲ

τῷ ῥηματικῷ εὗρον, ὅτι σημαίνει μύστακα, γένειον, πώγωνα, καὶ τὴν ἄνω τοῦ χείλους τρίχωσιν. Ὑπηρεσία. κυρίως, ἔνθα καθέζονται οἱ
υ.1772 ἐρέττοντες. Ὑπόνοια καὶ ὑπονοεῖν. ἡ ὑπὸ πρόθεσις ἐντελοῦς διαθέσεως ἔλλειψιν δηλοῖ. ὑπονοεῖν οὖν ἐστι τὸ μὴ τελείως νοεῖν τὸ προκείμενον. Ὑποτύπωσις. ὑπόδειγμα, ὑπογραμμὸς, χαρακτὴρ, λόγος. Ὑπὸ οὐλήν. ὑπὸ δόλον. ὥς φησι Δημοσθένης. Ὑπόκρισις. ἦθος πεπλασμένον. πικρία λανθάνουσα. Ὑπόμνησις. ἀνάληψις ἐκ λήθης τινὸς συμβεβηκότος. Ὑποταγή. ἀδιάκριτος πειθὼ τοῦ ὑποτασσομένου. Ὑπόληψις. ἡ παχυμερὴς γνῶσις, καὶ ἡ εἰκασία, καὶ ἡ δόξα, καὶ ἡ ὑπόνοια. Ὑποθῆκαι. παραινέσεις. Ὑποβάθρα. θεμέλιον. Ὑπόθεσις. αἰτία. περιοχή. ὑποθέσεις δὲ ἔθος τοῖς ἀνδράσι τὰς ἀρχὰς λέγειν τὰς ἀναποδείκτους, ἃς καὶ ἀξιώματα καλοῦσιν. ὑποθέσεις δὲ λέγουσι καὶ ἃ ἔχοντα ἀπόδειξιν χωρὶς τῆς οἰκείας ἀποδείξεως λαμβάνουσί τε καὶ ὑποτίθενται, ὡς δείξοντες αὐτὰς ὕστερον.
υ.1773 Ὑποστιγμή. σημεῖον διανοίας μηδέπω ἀπηρτισμένης, ἀλλ᾽ ἔτι ἐνδεούσης. Ὑπόκρισις. ἡ τῶν ὑποκειμένων σωμάτων ἢ πραγμάτων μίμησις. Ὑποφητεία προφητείας διαφέρει, ὅτι ἡ μὲν προφητεία πρὸ τοῦ γενέσθαι λέγει τὰ ὕστερον γενησόμενα, ἡ δὲ ὑποφητεία ἐν τῷ γίνεσθαι λέγει, ἢ μετὰ τὸ γενέσθαι τὸ γενόμενον ἢ γινόμενον. λέγει περὶ τούτου αὐτοῦ τὰ παρεστῶτα ἢ καὶ τὰ ὅσον οὔπω ἐπελευσόμενα. Ὑπογραφή. λόγος σύντομος, δηλωτικὸς συμβεβηκότων. Ὑπόρρηνος. ἔγγυος. ὑπόρρηνος αἴξ. ῥὴν γὰρ τὸ πρόβατον. Ὑπόστασις. ὑπόστασις κατὰ τὴν ἐκκλησιαστικὴν καὶ ἀποστολικὴν παράδοσιν τὸ πρόσωπον, ἤγουν ὁ χαρακτὴρ, ὡς φησὶν ὁ Ἀπόστολος τὸν υἱὸν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτῆρα τῆς ὑποστάσεως αὐτοῦ· τουτέστι πρόσωπον ὁμοούσιον τοῦ χαρακτῆρος καὶ τῆς ὑποστάσεως αὐτοῦ τοῦ πατρός. πρόσωπα δὲ καὶ χαρακτῆρας λέγομεν ἐπὶ θεοῦ, ἀσώματα καὶ ἀσχημάτιστα. πρόσωπον ἤγουν ὑπόστασίς ἐστι κατὰ τοὺς ἁγίους πατέρας τὸ ἰδικὸν παρὰ τὸ κοινόν. κοινότης γάρ ἐστιν ἡ φύσις ἑκάστου πράγματος· ἴδιαι δέ εἰσιν αἱ ὑποστάσεις, οἷόν τι λέγω. φύσις ἤγουν οὐσία μία ἡ θεότης, ὑποστάσεις δὲ τρεῖς, πατὴρ, υἱὸς καὶ ἅγιον πνεῦμα. τρία πρόσωπα ἤγουν χαρακτῆρες, μία δὲ οὐσία καὶ γένος. ἐὰν οὖν εἴπῃς, φυλάξαι ἡμᾶς ἡ θεότης, ὅλην τὴν
υ.1774 ἁγίαν τριάδα ἐσήμανας· εἰ δὲ εἴπῃς, μεθ᾽ ἡμῶν ὁ υἱὸς τοῦ θεοῦ, μίαν τῶν τριῶν ὑποστάσεων εἶπας, καὶ οὐχ ὅλην τὴν θεότητα. τρεῖς ὑποστατικαὶ

ἰδιότητες εἰσὶν ἐπὶ τῆς θεότητος· τὸ ἀγέννητον τοῦ πατρὸς, τὸ γεννητὸν τοῦ υἱοῦ, καὶ τὸ ἐκπορευτὸν τοῦ ἁγίου πνεύματος. οὐ γάρ ἐστι γεννητὸς ὁ πατὴρ, οὐδὲ ἐκπορευτὸς ὁ υἱὸς, οὐδὲ γεννητὸν τὸ πνεῦμα τὸ ἅγιον. πενταχῶς δὲ εἴρηται ἡ ὑπόστασις· ὑπόστασις· πρόσωπον· χαρακτήρ· ἄτομον, καὶ ἴδιον. φύσις δὲ λέγεται, οἷον ἀγγελιότης. ὑποστάσεις δὲ καὶ αἱ ἰδικαὶ ἑκάστου προσηγορίαι, ἤγουν Μιχαὴλ, Γαβριήλ. ὡσαύτως φύσις ἐστὶ μία καὶ κοινὴ, ἡ ἀνθρωπότης· ὑποστάσεις δὲ, Πέτρος καὶ Παῦλος καὶ τὰ λοιπὰ πρόσωπα τῆς ἀνθρωπότητος, καὶ οἱ χαρακτῆρες. ἡ οὖν φύσις κυρία ἐστὶ καὶ αἰτία καὶ γεννητικὴ τῶν ἐν αὐτῇ ὑποστάσεων. καὶ διὰ τοῦτο ὑποστάσεις λέγονται ὡς ὑπὸ τὴν φύσιν ἱστάμεναι, τὴν αὐτῶν πηγήν. ἐὰν εἴπῃς, καλὴ φύσις ὁ ἄγγελος, ὅλην τὴν οὐσίαν αὐτῶν ἐσήμανας· εἰ δὲ εἴπῃς, μέγας ἐστὶν ὁ Γαβριὴλ, ὑπόστασιν μίαν ἐκ πάντων ἐδήλωσας. ὁ ἄνθρωπος ἐλεεινὸς, ἰδοὺ ἡ οὐσία ὅλη· Καΐν δὲ καὶ Ἰούδας ὑποστάσεις εἰσί. πάλιν ἐὰν εἴπῃς, τὸ πετεινὸν ἐλαφρὸν, ἰδοὺ ἡ οὐσία· εἰ δὲ εἴπῃς, περιστερὰ ἢ τρυγὼν, ὑποστάσεις εἰσί. τὸ κτῆνος, ἰδοὺ πᾶσα ἡ κτηνώδης οὐσία· ὁ δὲ λέων καὶ ὁ ἵππος, ὑποστάσεις καὶ χαρακτῆρες καὶ πρόσωπα λέγονται. οὐ μόνον δὲ ἐπὶ νοερῶν καὶ ἐμψύχων καὶ λογικῶν ὁ
υ.1775 αὐτὸς κανὼν τῶν ὅρων ἁρμόζει, ἀλλὰ καὶ ἐπὶ πάσης ἀψύχου καὶ ἀναισθήτου καὶ ἀκινήτου φύσεως, οἷόν τι λέγω. ἐὰν εἴπωμεν, ὅτι ὁ θεὸς ἐποίησε τὸ φῶς, ἰδοὺ τὴν οὐσίαν ἁπάντων τῶν φωστήρων ἐσημάναμεν. αὕτη λοιπὸν ἡ οὐσία τέμνεται εἰς τὰς ὑποστάσεις αὐτῆς, οἷον σελήνη, ἄστρα καὶ τὰ λοιπά. ὁμοίως καὶ ἐπὶ ἀνέμων· ἐὰν εἴπῃς πνεῦμα, πᾶσαν τὴν φύσιν ἐδήλωσας τῶν ἀνέμων· εἰ δὲ εἴπῃς νότος ἢ βορρᾶς, ὑποστάσεις εἰσίν. ὡσαύτως τὸ πῦρ μία οὐσία ἐστὶ, τέμνεται δὲ εἰς ὑποστάσεις, ἤγουν λύχνους, κηροὺς, λαμπάδας, καμίνους. τὴν ἁγίαν οὖν σάρκα τοῦ Χριστοῦ οὐ λέγομεν πρόσωπον, ἀλλ᾽ οὐσίαν, ἵνα σημάνωμεν, ὅτι ὅλην τὴν φύσιν ἡμῶν ἀνέλαβε καὶ ἔσωσεν ὁ Χριστός. εἰ γὰρ εἴπωμεν αὐτὴν ὑπόστασιν, ἕνα τινὰ ἄνθρωπον εὑρισκόμεθα λέγοντες, ὅτι ἀνέλαβε καὶ ἔσωσεν ὁ Χριστός. πλὴν οὐ λέγεται ὑπόστασις, ἐφόσον ἀχώριστός ἐστι τοῦ θεοῦ λόγου ἡ σάρξ· ὑπόστασις γὰρ τὸ κεχωρισμένον πρόσωπον λέγεται. ἐνυπόστατον μέντοι αὐτὴν λέγομεν, οὐ μὴν ὑπόστασιν· τὸ γὰρ ἐνυπόστατον τὸ ἐνυπάρχον ἐστὶν, ὥσπερ ἀνυπόστατον τὸ μὴ ἔχον ὕπαρξιν ἤτοι οὐσίαν· οἷον τὸ ἐνύπνιον ἀνούσιον καὶ ἀνύπαρκτον καὶ

φαντασιῶδες. καὶ ὅπως ὁριστικῶς εἴπωμεν, ἀνυπόστατον καὶ ἀνύπαρκτον καὶ ἀνούσιόν ἐστι τὸ ῥήματι μὲν πολλάκις λεγόμενον, ἐν οὐσίᾳ δὲ καὶ ὑποστάσει μὴ γνωριζόμενον, οἷον ὁ ᾅδης, ὁ θάνατος, ἡ νόσος. πάλιν ἐνούσιον λέγομεν ἢ αὐτὸ τὸ ὂν ἢ τὸ ἐν οὐσίᾳ γνωριζόμενον ἰδίωμα· οἷον ἐνούσιον ἐστὶν ἀνθρώπου τὸ λογικὸν καὶ φθαρτόν. ὁμοίως καὶ τὸ ἐνυπόστατον κατὰ δύο τρόπους λέγεται· ἢ τὸ κατ᾽ ἀλήθειαν ὑπάρχον, ἢ τὸ ἐν ὑποστάσει ἰδίωμα, ὡς ἐν τῷ θεῷ πατρὶ τὸ ἀγέννητον, ἐν δὲ τῷ υἱῷ τὸ γεννητὸν, ἐν δὲ τῷ ἁγίῳ πνεύματι τὸ ἐκπορευτόν. καὶ αὖθις· ὑπόστασίς ἐστιν οὐσία μετά τινων ἰδιωμάτων τῷ ἀριθμῷ τῶν ὁμοειδῶν διαφέρουσα. τουτέστι πρόσωπον ὁμοούσιον τοῦ χαρακτῆρος καὶ τῆς
υ.1776 ὑποστάσεως τοῦ πατρός. πρόσωπα δὲ λέγομεν ἐπὶ θεοῦ ἀσώματα καὶ ἀσχημάτιστα. τοῦ πατρὸς δὲ ἴδιον τὸ ἀγέννητον, τοῦ υἱοῦ τὸ γεννητὸν, τοῦ ἁγίου πνεύματος τὸ ἐκπορευτόν· κοινὸν δὲ ἡ θεότης καὶ ἡ βασιλεία. τρεῖς δὲ ὑποστάσεις ἐπὶ τῆς θεότητος ὡμολόγει· πατέρα, υἱὸν καὶ πνεῦμα ἅγιον. ὑπόστασίς ἐστι πᾶν τὸ ἰδίῳ προσώπῳ ἐμφαινόμενον. ὑπόστασίς ἐστιν οὐσία ἰδιάζουσα τοῖς χαρακτηριστικοῖς ἰδιώμασιν. ὑπόστασίς ἐστιν ἐνούσιος ἰδιότης. ὑπόστασίς ἐστι περιγραφὴ τὶς, ἑνὸς γνωριστικὴ πρὸς τὰ ὁμοειδῆ, κατὰ τὴν ἰδιότητα τὸ ἀκοινώνητον ἔχουσα. ὑπόστασίς ἐστιν οὐσία μετὰ οἰκείων ἰδιωμάτων ἀριθμῷ τῶν ὁμοειδῶν διαφέρουσα. ὑπόστασις λέγεται παρὰ τὸ ὑφεστάναι. τὸ τῆς ὑποστάσεως ὄνομα παρὰ τῇ θείᾳ γραφῇ τριχῶς λέγεται· τὸ καθ᾽ ἑαυτοῦ ὑπάρχον, οἷον· μνήσθητι, τίς μου ἡ ὑπόστασις· τὸ πλῆθος τῶν ὁμονοούντων, οἷον τό· ἐξῆλθον ἄνδρες ἀπὸ τῆς ὑποστάσεως τῶν ἀλλοφύλων· τὸ ἐνούσιον, οἷον τό· ἐν τῇ ὑποστάσει τῆς καυχήσεώς μου. ὑπόστασις καὶ πρόσωπον ταὐτό ἐστιν· ἄμφω γὰρ μερικόν τε καὶ ἴδιον, ὡς ἐφ᾽ ἑαυτῶν τὴν περιγραφὴν, ἀλλ᾽ οὐκ ἐν πλείοσι τὴν κατηγορίαν φυσικῶς κεκτημένων. ὑπόστασιν λέγομεν τὸ καθ᾽ ἑαυτοῦ ὑφεστὸς καὶ ἐν οὐδενὶ ἑτέρῳ συνθεωρούμενον, ὅπερ καὶ ἄτομον καλοῦσι τινές. ἄθροισμα δὲ συμβεβηκότων τοῦτο ἂν εἴη, ἅπερ ἅμα πάντες θεωροῦμεν, ὧν τὸ ἄθροισμα οὐδὲν πρόσεστιν ἑτέρῳ, πλὴν τοῦ ἑνὸς ᾧ πρόσεστι. ὑπόστασις ἐστὶ τὸ καθ᾽ ἑαυτὸ μόνον ὑφεστὸς, παντὸς δὲ ἑτέρου κεχωρισμένον, ἤτοι τὸ ἰδίοις τισὶ περιγεγραμμένον ὑποστατικοῖς γνωρίσμασιν. ὑπόστασις ἐστὶ τὸ καθ᾽ ἑαυτὸ διωρισμένον συνεστός. ὑπόστασις ἐστὶ πρᾶγμα ὑφεστός τε καὶ οὐσιῶδες, ἐν ᾧ τὸ

ἄθροισμα τῶν συμβεβηκότων, ὡς ἐν ἑνὶ ὑποκειμένῳ πράγματι καὶ ἐνεργείᾳ, ὑφέστηκεν. ὑπόστασις ἐστὶν οὐσία μετὰ ἰδιωμάτων ἀριθμῷ τῶν ὁμογενῶν διαφέρουσα. ἐν ὑποστάσει δὲ τὸ καθ' ἑαυτὸ οὐδαμῶς
υ.1777 ὑφιστάμενον, ἐν ἄλλοις δὲ θεωρούμενον, ὡς εἶδος ἐν τοῖς ὑπ' αὐτῷ ἀτόμοις. ἢ τὸ σὺν ἄλλῳ διαφόρῳ κατὰ τὴν οὐσίαν εἰς ὅλου τινὸς γένεσιν συντιθέμενον. ὑποστάσεως ἴδιόν ἐστι τὸ καθ' ἑαυτὴν ὁρᾶσθαι, καὶ τῶν ὁμοειδῶν κατ' ἀριθμὸν διαστέλλεσθαι. Ὑπόστασίς ἐστι συνδρομὴ τῶν χαρακτηριστικῶν ἰδιωμάτων, τὸ ἄτομον καὶ τὸ ἰδικόν· τουτέστι τὸν δεῖνα ἄνθρωπον ἐκ τοῦ κοινοῦ διαστέλλουσα. ἢ συνδρομὴ τῶν περὶ ἕκαστον ἰδιωμάτων. ἢ διὰ τῶν χαρακτηριστικῶν ἰδιωμάτων ἐν τῷ τινὶ παριστῶσα καὶ διαγράφουσα τὸ κοινὸν καὶ ἀπερίγραπτον τῆς φύσεως. Ὑποστατικὴ οὖν ἕνωσίς ἐστιν ἡ τὰς διαφόρους οὐσίας ἤγουν φύσεις εἰς ἓν πρόσωπον καὶ μίαν τὴν αὐτὴν ὑπόστασιν συνάγουσά τε καὶ συνδέουσα. ὑποστατικὴ διαφορὰ τυγχάνει λόγος, καθ' ὃν ἡ κατὰ ἄθροισμα τῶν ἐνθεωρουμένων ἰδιωμάτων κοινῶν τῆς οὐσίας ἑτερότης τέμνουσα κατὰ ἀριθμὸν ἄλλου ἀπ' ἄλλου τὴν τῶν ἀτόμων ποιεῖται πληθύν. Ὑπιωγή. ἡ σκέπη. Ὑπυή. ἡ ἐξοχή. Ὑπώρεια. ἡ τοῦ ὄρους πλαγία σκοπιά. Ὑπωμοσία. τὸ ὑπερτίθεσθαι
υ.1778 δίκην ἤγουν ἀναβάλλεσθαι. Ὑπόνοιαι πονηραί. οἷον δόξαι, δόγματα νόθα. οὕτως ὁ Ἀπόστολος. Ὑποτύπωσιν. ὑπόδειγμα, ἀπόδειξιν. ὁ Ἀπόστολος· πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ.

— Οὐδέτερον. —

Ὕπαρ ἐγρηγορός. ὀπτασία ἀληθής· ἀλήθεια οὐκ ἐν ὀνείρῳ. ἔστιν ᾧ ῥῆμα, ὃ δηλοῖ τὸ ὑπάρχω. ἀφ' οὗ ῥήματος ὄνομα ἄρ, ὡς σθένω σθέναρ, ἔδω ἔδαρ καὶ εἶδαρ, καὶ μετὰ τῆς ὑπὸ προθέσεως ὕπαρ. Ὑπαὶ δείους. ὑπὸ φόβου. Ὑπέμβρυον. τὸ ἐπὶ τῇ θηλαζούσῃ νεογνόν. ἢ παρὰ τὸ ἔσω εἶναι βροτοῦ. Ὑπερτενές. ὑψηλόν. Ὑπέρτερον. ἀνώτερον, ὑπερέχον. Ὑπέρχολον. θυμῶδες. Ὑπερφυές. μεγαλεῖον. Ὑπέρβιον. ὑπερήφανον. Ὑπέρινον. λεπτόν. ἔστι ῥῆμα ἰνῶ, τὸ ἐκκενῶ. ὅθεν λεπτύνω καὶ ὀξύνω. ἐντεῦθεν ὑπέρινος, ὁ κατάξηρος, ἢ ὁ κενόσαρκος. Ὑπερῷον. οἴκημα ὑψηλόν· ἢ ἀνώγεον. ἐκ τοῦ οἷος, ὃ σημαίνει τὸν μόνον, καὶ τῆς ὑπὲρ
υ.1779 προθέσεως ὑπεροῖον, καὶ αὐξήσει τοῦ ο εἰς ω μέγα ὑπερῶον. καὶ μένει τὸ ι προσγεγραμμένον. Ὑπερθετικόν. τὸ σύγκρισιν τοῦ πρωτοτύπου ἀσυγκρίτως δηλοῦν. Ὑπερεύχιον. Ὑπερώσιον. ἄπειρον. Ὕπαντρον. ὑπὸ

σπήλαιον. Ὕπαιπα. τόπος. Ὑπεύχιον. ὑπερώσιον. ἄπειρον. Ὑπήτρια. οἱ μαστοί. Ὑπόβολον. ὑποκείμενον πρὸς δάνειον. Ὑπόγραμμα. ᾧ τοὺς ὀφθαλμοὺς ὑπογράφουσιν. Ὑπόγυον. ἐγγύτερον. τὸ νεωστὶ γινόμενον, τὸ πρόσφατον, τὸ πρὸ ὀλίγου. ἀπὸ τοῦ γυῖα, ὃ σημαίνει τὰς χεῖρας· διὰ γὰρ τῶν χειρῶν ἀποτελοῦνται τὰ ἔργα. ἢ παρὰ τὸ γύη, ὃ σημαίνει τὴν γῆν. ὁ μὲν οὖν ἀγὼν ὑπόγυος. Ὑπόδειγμα. σημεῖον. Ὑποζύγια. ὄνους ἢ
υ.1780 ἡμιόνους. Ὑπομάζιον. τὸ θηλάζον βρέφος. Ὑποτίτθια. τὰ θηλάζοντα βρέφη. Ὑπόπυον. ἕλκους γέμον. Ὑπότριμμα. ἄλειμμα κατεσκευασμένον ἔκ τε φοινίκων καὶ μέλιτος καὶ ἄλλων τινῶν ἀρτυμάτων. ἀπὸ τῆς τρίψεως τῆς ἐν αὐτοῖς γινομένης. Ὑποχόνδρια. τὰ ὑπὸ τὸν λαγόνα. Ὑποκείμενον. αὐτὴ ἡ οὐσία. καθ’ ὑποκείμενον δὲ λέγει, ὅταν τὰ καθόλου τῶν μερικῶν κατηγορῆται. ὡς τὸ χρῶμα τοῦ λευκοῦ· καθ’ ὑποκειμένου γὰρ καὶ συνωνύμως κατηγορεῖται. ἐν ὑποκειμένῳ δὲ, ὡς ἐν ταῖς οὐσίαις τὰ συμβεβηκότα, οἷον ὡς τὸ λευκὸν ἐν τῷ κύκνῳ. διττὸν δὲ τὸ ὑποκείμενον· τὸ μὲν πρὸς ὕπαρξιν, τὸ δὲ πρὸς κατηγορίαν. καὶ πρὸς ὕπαρξιν μὲν ὑποκεῖσθαι λέγουσι τὴν οὐσίαν τοῖς συμβεβηκόσι· πρὸς κατηγορίαν δὲ τὰ μερικὰ τοῖς καθόλου. Ὑπώπια. τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς
υ.1781 πελιδνώματα. ἢ τραύματα, ἃ ἐν τῷ πυκτεύειν γίνεται. Ὕπαφρον. τὸ κρύφιον λέγει ὁ Ἱπποκράτης. καὶ ὁ Ψελλός· ὕπαφρον μὲν τὸ κρύφιον, πέζας τὰ πρὸς τοὺς πόδας.

— *Ῥῆμα.* —

Ὑπάγει. ἐξαπατᾷ. Ὑπάγουσιν. ἀντὶ τοῦ προάγουσιν. οὕτω Δημοσθένης. Ὑπακτέον. πορευτέον. ἐκ τοῦ ἄγω ἀκτέον. Ὑπαντιάζει. ὑπαντᾷ. Ὑπαΐξας. ὁρμήσας. Ὑπάρχει. οὐχ ἁπλῶς δηλοῖ τὸ εἶναι, ἀλλὰ τὸ πάλαι εἶναι, καὶ οἷον προϋπάρχειν. δηλοῖ δὲ καὶ τὸ ἄρχειν, οἷον· ὑπάρχειν μάχῃ. Ὑπαινίττεται. αἰνιγματωδῶς ἐμφαίνει. Ὑπειδόμενος. ὑφορώμενος. ἀπὸ τοῦ εἴδω. Ὑπειπεῖν. τὸ ὑπαγορεύειν. καὶ ὑπείπομεν ἀντὶ τοῦ προείπομεν.
υ.1782 Ὑπεζωσμένος. περιβεβλημένος, ἐπισυρόμενος. Ὑπενόστησεν. ὑπανεχώρησεν. Ὑπέθηκε τὴν οὐσίαν ὁ δανειζόμενος· ὑπέθετο δ’ ὁ δανείζων. Δημοσθένης· ὑποθεὶς δὲ τὴν οὐσίαν τὴν ἐμαυτοῦ. Ὑπέδυ. ὑπεισῆλθεν. Ὑπενέγκοι. ὑπομείνῃ ἢ ἀνέξεται. ἢ ἀντὶ τοῦ καταδέξεται. Ὑπέσχετο. ἐπηγγείλατο. Ὑπερορᾷ. παραβλέπει. Ὑπερηνορεόντων. τῶν ὑπερεχόντων τῇ ἠνορέῃ καὶ τῇ δυνάμει καὶ τῇ ἀνδρείᾳ, τουτέστιν

ἀνδρείων. ἢ τῶν ὑπὲρ δύναμιν φρονούντων. Ὑπερμαζᾷ. ὑπερτρυφᾷ· πλουτεῖ· στρηνιᾷ. μάζα γὰρ ἡ τροφή. Ὑπερφέρων. ὑπεράνω γενόμενος.

υ.1783 Ὑπερφρονῶν. καταφρονῶν. Ὑπερώησαν. ὑπεχώρησαν. Ὑπερωρίσθη. ἐκ τῶν ὁρίων ἐξωρίσθη. Ὑπερανεστηκώς. ὑπερβεβηκώς. Ὑπερασπιῶ. ὑπερμαχῶ. Ὑπερηγάσθη. ἐθαυμάσθη. Ὑπέρκεισαι. ὑπερβάλλεις. Ὑπισχνεῖται. ἐπαγγέλλεται. Ὑπογενειάζων. λιτανεύων, παρακαλῶν. ἐκ τοῦ γενείου ἁπτόμενος. Ὑποθήσομαι. διδάξω. Ὑποκαθεῖναι. οἷον παύσασθαι χαλεπαίνοντα καὶ πραότερον γενέσθαι. ὑποκαθεῖναι τὰς ὀφρῦς· τὸ γὰρ ἄνω τείνειν τὰς ὀφρῦς ὀργῆς ἐστι σημεῖον. Ὑποκαθεῖσθαι. χαλᾶσθαι. ὑποκαθῆσθαι δὲ τὸ ὑποκαθέζεσθαι, ἦτα. Ὑποκρίνεσθαι. τὸ

υ.1784 ἀποκρίνεσθαι ἔλεγον οἱ παλαιοί. καὶ ὑποκριτὴς ἐντεῦθεν ὁ ἀποκρινόμενος τῷ χορῷ. Ὑπολαβών. νοήσας. ἢ ἀποκριθείς· ἀντειπών· ἀντικρούσας. ἀμφότερα δὲ ἀπὸ τοῦ λήβω, τὸ λαμβάνω. Ὑπολαιμίσας. σφάξας. Ὑπολογισάμενος. ἐνθυμηθείς. Ὑποκορίζεται. σμικρύνεται. εὐτελίζεται. Ὑποκοριζόμενοι. κολακεύοντες· διασύροντες· ὑποκρινόμενοι. ὁ δὲ Δημοσθένης ἀντὶ τοῦ εὐφήμως λέγοντες ἐχρήσατο. καὶ τὸ ὑποκοριστικῶς λέγειν. Ὑπονομεύοντες. ἀντὶ τοῦ ὑπονόμους ὀρύττοντες. Ὑποσμύχει. ὑποκαίει. Ὑποσμήχει δὲ, ἀντὶ τοῦ καθαίρει, η.

υ.1785 Ὑποστειλάμενος. ὑποκρυψάμενος. Ὑποστέλλεται. ὑποπτήσσει· δειλιᾷ· εὐλαβεῖται. ἢ ἀναδύεται, καὶ ὑποκρίνεται, καὶ φεύγει, καὶ δολιεύεται. Ὑποσκελίσει. ἀπατήσει. καὶ ὑποσκελισθήσεται ἀντὶ τοῦ ἀπατηθήσεται καὶ ἐμποδισθήσεται. Ὑποσταίη. ὑπόσχοιτο. Ὑποπτήσσει. φοβεῖται, δειλιᾷ. Ὑποδραμών. ὑπελθών. Ὑπουργεῖ. ὑπηρετεῖ. Ὑπόρωρεν. ὀρῶ τὸ ὁρμῶ· ὁ μέσος παρακείμενος ὦρα, ὁ παρατατικὸς ὄρωρα, καὶ τὸ τρίτον ὄρωρεν καὶ ὑπόρωρεν. Ὑπνοῦν τὸν θεὸν γέγραπται, ὅταν μακροθυμεῖ. ὡς τὸ, ἵνα τί ὑπνοῖς, κύριε; Ὑπωπιάζω. ἀπὸ τοῦ ἰπῶ, τὸ βλάπτω.
ἰπούμενος ταῖς συμφοραῖς.
ἀπὸ τοῦ ἰπῶ ἰπάζω καὶ ἐν ὑπερθέσει πιάζω. τοῦ δὲ πιέζω ἀναλογώτερόν ἐστι τὸ πιάζω, τροπῇ δὲ τοῦ α εἰς ε πιέζω. Ἴωνες μὲν καὶ Ἀττικοὶ πιέζω λέγουσιν· οἱ δὲ Δωριεῖς πιάζω. τὸ δὲ ἰπῶ γέγονε παρὰ τὸ ἶπος, ὃ σημαίνει

υ.1786 τὴν παγίδα τῶν μυῶν. Ὑπωπτευκώς. ὑπολαβών. Ὑποτύφοντας. ὑποφλέγοντας, ὑποκαίοντας. Ὑποτιθέμενος. συμβουλεύων. ὁ Ἀπόστολος· ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς καλῶς, ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ.

῾Υπωπιάζω. δαμάζω.

— Ἐπίρρημα. —

῾Υπένερθεν. κάτωθεν. ῾Υπόδοντα. κρυφίως. ῾Υπέρευγε. καλῶς ἀπεκρίθητε. ῾Υπούλως. δολίως. ῾Υποβλήδην. ὑποβαλών. λόγος ὑποκρουστικὸς ἔτι λέγοντος τινός. ἔστι ῥῆμα βλῶ. γίνεται δὲ ἀπὸ τοῦ βάλλω, κατὰ συγκοπήν. ὁ μέλλων βλήσω. ἀπὸ τούτου γίνεται ἐπίρρημα βλήδην καὶ ἐν συνθέσει ὑποβλήδην. ἤγουν τὸ ὑποβαλεῖν λόγον, μηδέπω τὴν ὁμιλίαν τοῦ διαλεγομένου τελέσαντος. ῾Υπερκοσμίως. ἀγγελικῶς. τοῦ θεολόγου· μὴ κοσμικῶς, ἀλλ᾽ ὑπερκοσμίως.

Τὸ Υ μετὰ τοῦ Ρ. — Ἀρσενικόν. —

υ.1787 ῾Υριδύς· ῾Υριεύς· ῞Υρτακος· ῾Υρροιάδης. ὀνόματα κύρια.

— Θηλυκόν. —

῞Υρρα. κύριον. ῾Υρρίη καὶ ῾Υρρίνη. πόλεις. ῾Υρκανία. χώρα καὶ τόπος. καὶ ῾Υρμίνη. ῾Υρρίδα. σπυρίδα. καὶ ὑρισσὸς, ἀγγεῖον πλεκτὸν, εἰς ὃ σῦκα ἐμβάλλουσιν.

Τὸ Υ μετὰ τοῦ Σ. — Ἀρσενικόν. —

῾Υσσάκους. τοὺς πασσάλους φησὶν Ἀριστοφάνης. ῾Υσήτηρος. ῥυπώδης. ῞Υσκανις. ποταμός. ῾Υσμινίας. κύριον. ῾Υσσός. τὸ δόρυ. τὸ κοντάριον. ῝Υς. ὁ χοῖρος ἢ συάγρος. εἰ μὲν παρὰ τὸ σύω, τὸ ὁρμῶ, σῦς καὶ ἀφαιρέσει τοῦ ς ὗς· εἰ δὲ ἀπὸ τοῦ ὕεσθαι, οὐκέτι ἀποβολῇ τοῦ ς. καί· ὗς διὰ ῥόδων. ἐπὶ σκαιῶν τάττεται ἡ παροιμία. ῞Υστατος. ὁ ἔσχατος, ὁ ὕστερος. παρὰ τὴν
υ.1788 ὑπὸ πρόθεσιν ὑπότατος, καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ ς ὕστατος. ῞Υστερος. ὥσπερ παρὰ τὴν πρὸ πρότερος, οὕτως καὶ παρὰ τὴν ὑπὸ ὑπότερος καὶ ὕστερος. προόντος γὰρ ἑτέρου λέγεταί τις ὕστερος. ὥστε πλεονασμός ἐστι τοῦ ς. ῞Υσπληξ. φραγγέλιον. ἀφετηρία. βούκεντρον. ἢ μύωψ ὁ πλήσσων τοὺς βοῦς. εἴρηται ἀπὸ τῶν τριχῶν τῶν ὑείων γίνεσθαι. οἶμαι δὲ ἀφετηρία ἐκ τοῦ ἐκεῖσε πλήσσεσθαι τῇ μάστιγι τοὺς ἵππους. ἢ παρὰ τὴν ὑπὸ πρόθεσιν ὑπόπληξ, καὶ συγκοπῇ τῆς πο συλλαβῆς καὶ πλεονασμῷ τοῦ ς ὕσπληξ. ὕσπληξ καὶ ὁ σιδηροῦς ὀχεὺς, ὃν λάμναν καλοῦσιν.

— Θηλυκόν. —

῞Υσκα. ὀψάριον καὶ ξύλον, ἐν ᾧ ἅπτεται τὸ πῦρ. ῾Υσμίνη. ἡ μάχη.

Ὑστεροβουλία. μεταμέλεια. Ὑστριχίς. ζῶον. ὑστρηχὶς δὲ μάστιξ ἡ ἐξ ὑείων τριχῶν. η τὸ στρη. καὶ ὕστρηξ ὁμοίως. Ὕσχη. εἶδος βοτάνης.

υ.1789 Ὑσοίπη. ὁ ῥύπος. τοῦ Ψελλοῦ· ὑσοίπηρος ὁ ῥυπαρὸς, ὑσοίπη γὰρ ὁ ῥύπος.

— Οὐδέτερον. —

Ὕστατον. τὸ ἔσχατον. Ὑστέλειον. ὅρος. καὶ Ὑστερεῖον. Ὕσσωπον καὶ ὁ ὕσσωπος. βοτάνη καθαρτικὴ τῶν κατὰ στόμαχον πεπλεγμένων φλεγμάτων, διὰ τὴν ἐν αὐτῷ θερμότητα.

— Ῥῆμα. —

Ὑσθῆναι καὶ ὑσθῆσαι καὶ ὕσθην. ἀντὶ τοῦ ἐβράχην. Ὑστερήσαντες. Ὑστερούμεθα. ἀντὶ τοῦ ἐλαττούμεθα παρὰ τῷ θεῷ. οὔτε, ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα.

Τὸ Υ μετὰ τοῦ Φ. — Ἀρσενικόν. —

Ὕφασις. ποταμός. Ὑφηγητής. ἐξηγητής.

— Θηλυκόν. —

Ὕφαλος πέτρα. ἡ ὑπὸ τῆς θαλάσσης κεκρυμμένη, ἥτις ὕδωρ ὀλίγον ἐπικείμενον ἔχουσα γίνεται τοῖς πλέουσι κινδύνου παραίτιος. καὶ ὕφαλος φάτις, ἡ κρυφία φαντασία. Ὕφασις. ὑπόβασις· ταπείνωσις· ὑποκατάβασις· ἔνδοσις. Ὑφή. ἡ πλοκή. καὶ ὑφὲν, συνάφεια ἐκ δύο λέξεων συγκειμένη. ὠνόμασται δὲ ὑφὲν παρὰ τὸ ἑνοῦν τὰς λέξεις, καὶ ἐν τῷ ἅμα ποιεῖν αὐτὰς

υ.1790 ἀναγινώσκεσθαι. καὶ ὑφὲν ἀντὶ τοῦ ὁμοῦ. Ὑφεδρίαν. τὴν κάτω καθέδραν λέγει ὁ Θεολόγος, ἤγουν τὸν τοῦ πρεσβυτέρου βαθμόν. προεδρίαν δὲ τὴν ἐπισκοπήν.

— Ῥῆμα. —

Ὑφέντες. ἵημι, ὁ δεύτερος ἦν, ἡ μετοχὴ εἷς, ἕντος, ἕντες, καὶ ὑφέντες. Ὑφειμένον. ταπεινόν. ὑποβεβηκός. δευτερεῦον. ὑποχείριον. Ὑφειμένος. ἐνδεδυμένος. Ὑφεξαίρειν. λαμβάνειν. ἐπαίρειν. Ὑφεῖται. συγχωρεῖται. Ὑφηγοῦμαι. διηγοῦμαι· ἐξηγοῦμαι. Ὑφήναι. ἀντὶ τοῦ ὑφάναι. Ὑφίει. συνεχώρει. Ὑφιείς. ὑπενδούς. Ὑφεῖναι. ἐνδοῦναι. Ὑφιέντες. ἐλαττοῦντες. ὑποσυγκαταβαίνοντες. Ὑφείλετο. κατέσχεν. Ὑφιζάνοντι. ὑποκαθημένῳ. Ὑφόωσιν. ἀντὶ τοῦ ὑφαίνουσιν. Ὑφαίνω. παρὰ τὸ εἷς, ὃ σημαίνει τὸν ἀριθμὸν, γέγονεν αἰνῶ, καὶ μετὰ τῆς ὑπὸ προθέσεως καὶ ἐν συνθέσει ὑφαίνω. οἱ γὰρ ὑφαίνοντες τὰ διῃρημένα καὶ κεχωρισμένα εἰς

ἓν μάλιστα σπεύδουσιν ἄγειν. οὕτω Θεόγνωστος. Ὑφωρώμην. ὑπενόουν.

Τὸ Υ μετὰ τοῦ Ψ. — Ἀρσενικόν. —

Ὑψαύχην. ὁ ἀλαζὼν, ὁ ὑψηλόφρων. Ὑψήγορος. μεγαλήγορος.

υ.1791 Ὑψηλόφρων. ἐπῃρμένος. Ὑψηχής. ὁ ὑψαύχην. Ὑψηχέες. παρὰ τὸ εἰς ὕψος ἐμφέρειν τῶν ποδῶν τὸν ἦχον.

—ὑψηχέες ἵπποι.

Ὑψίζυγος. ὁ ἐν ὕψει ἔχων τὴν καθέδραν, καὶ πάντων ὢν κυβερνήτης. ζυγὸς δὲ ἡ καθέδρα τῶν κωπηλατῶν. ἢ καὶ ὁ ἐν ὕψει ζυγοστατῶν καὶ ταλαντεύων τὰς μοίρας. λέγουσι δὲ τὸν Δία οἱ Ἕλληνες. Ὑψιβρεμέτης. ὁ ἐν ὕψει βροντῶν. βρέμω γὰρ τὸ ἠχῶ. Ὑψίκομος. ὁ ἐν ὕψει θάλλων, ἢ ὁ ἐν ὕψει τὴν κόμην ἔχων. Ὑίζων. ὄνομα ποταμοῦ. Ὑψιπέτης. ὁ εἰς ὕψος

υ.1792 πετόμενος. ὑψιπετὴς δὲ, ὁ ἀπὸ ὕψους πεσών. Ὑψιστάριος. ὁ τὸν ὕψιστον καλῶν.

— Θηλυκόν. —

Ὕψωσις. ἔπαρσις. Ὑψηγορίαν. τὴν ὑψηλὴν θεολογίαν. ὁ θεολόγος φησίν.

— Οὐδέτερον. —

Ὑψηρεφές. μεγάλην ἔχον σκιὰν καὶ σκέπην. Ὑψηλόν. τὸ πλεῖστον ἀπέχον τοῦ μέσου. Ὑψιπέτηλον. εἰς ὕψος ἔχον τὰ φύλλα. Ὕψος. παρὰ τὸ ὄπτω, τὸ βλέπω, ὄψος, καὶ τροπῇ Αἰολικῇ τοῦ ο εἰς υ ὕψος. ὡς καὶ ὅμοιον ἔμιον. ἀφ᾽ οὗ ἐστιν ὁρᾷν. Ὑψῶ. μεγαλύνω, δοξάζω. καὶ ὑψώσω. Ὕψι. ἐφ᾽ ὕψους. Ὑψόθι. ὑψόσε. Ὑψοῦ. ἀντὶ τοῦ ἐφ᾽ ὕψους.